TEZAUR LITURGIC

26 DECEMBRIE

HARALAMBOS BOUSIA

# PARACLISUL SOBORULUI MAICII DOMNULUI

ATENA,2020


ΑΠΟCΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗC ΕΚΚΛΗCΙΑC ΤΗC ΕΛΛΑΔΟC

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΗΝ ΕΝΔΟΞΟΝ ΠΡΟΜΗΤΟΡΑ ΤΗΣ ΘΕΟΤΟΚΟΥ ΜΑΡΙΑΝ

**Ποίημα Δρος. Χαραλάμπους Μ. Μπούσια**

Ευλογήσαντος του Ιερέως το Κύριε εισάκουσον, μεθ' ὁ το Θεός Κύριος, ως συνήθως, και το εξής

Ήχος πλ. δ'.Ο υψωθείς εν τω Σταυρώ.

Της Θεοτόκου την προμήτορα πάντες, εξ ής και έλαβε την πάνσεπτον κλήσιν, Μαρίαν, ευφημήσωμεν πιστοί εκτενώς, του Ματθάν την σύζυγον, του σεμνού ιερέως, και τριών υπέρτιμον θυγατέρων μητέρα, ως ευσεβών θερμήν καταφυγήν, παραμυθίαν και σκέπην και στήριγμα.

Δόξα. Το αυτό. Και νυν. Θεοτοκίον.

Ου σιωπήσομέν ποτέ, Θεοτόκε, τας δυναστείας σου λαλείν οι ανάξιοι. Ει μη γαρ συ προΐστασο πρεσβεύουσα, τις ημάς ερρύσατο εκ τοσούτων κινδύνων; Τις δε διεφύλαξεν έως νυν ελευθέρους; Ούκ αποστώμεν, Δέσποινα, εκ σου˙ σου γαρ δούλους σώζεις αεί εκ παντοίων δεινών.

Είτα ο Ν' Ψαλμός και ο Κανών, ου η Ακροστιχίς:

«Μαρία, Θεοτόκου προμήτορι, προσπίπτω. Χ.»

Ήχος πλ. δ’. Υγράν διοδεύσας.

Μαρίαν, προμήτορα την σεμνήν, της μόνης πανάγνου Θεοτόκου, πανευλαβώς υμνούντες αυτής την προστασίαν και αρωγήν και φρουράν εκδεχόμεθα.

Ανάδειξον πάντας προσκυνητάς, Μαρία, προμήτορ Θεοτόκου, της σης σεπτής εικόνος εν Ιεροσολύμοις της ουρανών Βασιλείας οικήτορας.

Ρανίδας απόσμηξον, Μαριάμ, ημών των δακρύων μανδηλίω σων προσευχών, προμήτορ σεμνή της Θεοτόκου και Ελισάβετ, τεκούσης τον Πρόδρομον.

Θεοτοκίον.

Ιδείν καταξίωσον εν σκηναίς παμφώτοις του πόλου, Θεοτόκε, του σου Υιού μορφήν την σεπτήν κατακειμένους εν τη σκιά και ομίχλη των θλίψεων.

Ωδή γ’. Ουρανίας αψίδος.

Άννης μήτερ αγία, σεμνή, αγνή, πάγκαλε, της Θεογεννήτορος Κόρης, και της προμήτορος Προδρόμου και Βαπτιστού Χριστού, Σοβής της εντίμου, Μαριάμ, αγίαζε τους προσκυνούντάς σε.

Θησαυρόν ώσπερ θείον το σον σεπτόν έκτυπον, της Σεϊδανάγιας η Μάνδρα έχει και άσυλον όλβον, Μαρία κλυτή, προμήτορ της Θεοτόκου, ὁ χαράς πληρούμεθα κατασπαζόμενοι.

Ελεούσα μη παύση τους σοι πιστώς σπεύδοντας και ασπαζομένους εικόνα σην χαριτόβρυτον, Μαρία, θεοειδές προμήτορ της Θεοτόκου, της τεκούσης Κύριον παντελεήμονα.

Θεοτοκίον.

Οδοδείκτης γενού μοι, Μήτερ Θεού άχραντε, προς τας ουρανίους επάλξεις και προς τα δώματα της αιωνίου χαράς προμήτορός σου Μαρίας ικεσίαις, Δέσποινα, κόσμου διάσωσμα.

Αγίαζε και επευλόγει, Μαρία, σεμνή προμήτορ Θεοομήτορος της αγνής, τους σοι καταφεύγοντας και πίστει σον έκτυπον προσκυνούντας.

Επίβλεψον εν ευμενεία, πανύμνητε Θεοτόκε, επί την εμήν χαλεπήν του σώματος κάκωσιν και ίασαι της ψυχής μου το άλγος.

Κάθισμα Ήχος β’. Πρεσβεία θερμή.

Παρθένου αγνής Προμήτορ θεοδόξαστε, Μαρία, Ματθάν του ιερέως σύνευνε, εκθύμως τιμώμέν σε εκβοώντες˙ συν Άννη ικέτευε και Ελισάβετ, Έκγονον τον σον, Χριστόν, υπέρ πάντων των τιμώντών σε.

Ωδή δ’. Εισακήκοα, Κύριε.

Τον Θεάνθρωπον Κύριον Έκγονον η έχουσα και τον Πρόδρομον συν αυτών μητράσι πρέσβευε, Μαριάμ, υπέρ των ευφημούντων σε.

Ουρανίου φρονήματος έμπλησον, Μαρία, τους ανυμνούντάς σε Θεοτόκου ως προμήτορα, γένος χοϊκών την ουρανώσασαν.

Καθοδήγει σους πρόσφυγας προς οδούς, Μαρία, ολοκληρώσεως εν Χριστώ, σεπτώ Εκγόνω σου, μόνω δυναμένω σώσαι μέροπας.

Θεοτοκίον.

Ου παυόμευα, Δέσποινα, μεγαλύνειν πλήθος των θαυμασίων σου και ετοίμην προστασίαν σου, δι’ ής σκέπεις γένος το χριστώνυμον.

Ωδή ε'. Φώτισον ημάς.

Ύμνοις σε φαιδροίς καταστέφομεν και άσμασι, την προμήτορα Παρθένου της αγνής, θεαυγές Μαρία, φύλαξ των τιμώντων σε.

Πρόσδεξαι ημών τας λιτάς, Μαρία ένθεε, σε τιμώντων ώσπερ ρίζαν ευγενή του Προδρόμου και Χριστού του πανοικτίρμονος.

Ρύσαι συμφορών αλγεινών και περιστάσεων σου τους πρόσφυγας, Μαρία αγαθή, Άννης μήτερ, του Κυρίου της προμήτορος.

Θεοτοκίον.

Οι προσκυνηταί της Αγίας Γης εικόνα σου ασπαζόμενοι, Μαρία, ευλαβώς Θεοτόκου μάμμη, χάριτος πληρούμεθα.

Ωδή στ'. Την δέησιν.

Μεσίτριαν σε θερμήν κατέχομεν προς Χριστόν, τον Έκγονόν σου, Μαρία, της Ελισάβετ και της Θεοτόκου σεπτή προμήτορ, οι νυν την εικόνα σου Σεϊδανάγιας εν Μονή τη πανσέπτω πιστώς ασπαζόμενοι.

Η σύνευνος του Ματθάν, η τέξασα τας μητέρας του Χριστού και Προδρόμου Αυτού, Μαρία, καθιλευουμένη μη

διαλίπης ημίν, πανευΐλατε, τοις σε τιμώσιν ακλινώς, Ιησούν, σον Θεάνθρωπον Έκγονον.

Τρυχόμενοι εκ του βίου θλίψεων και στενώσεων και πόνων, Μαρία, ση προστασία προστρέχομεν πίστει και αρωγή τη ετοίμη, πανεύφημε προμάμμη Λόγου του Θεού, του παρέχοντος κόσμω ανάστασιν.

Θεοτοκίον.

Ομόνοιαν και ειρήνην δώρησαι τοις δεινώς πολεμουμένοις, Παρθένε, η τον ειρήναρχον Λόγον τεκούσα υπερφυώς του Υψίστου, Μητρόθεε, και διχονοίας την αχλύν αφ’ ημών σαις αυγαίς απελαύνουσα.

Αγίαζε και επευλόγει, Μαρία, σεμνή προμήτορ Θεομήτορος της αγνής, τους σοι καταφεύγοντας και πίστει σον έκτυπον προσκυνούντας.

Άχραντε, η δια λόγου τον Λόγον ανερμηνεύτως επ’ εσχάτων των ημερών τεκούσα, δυσώπησον ως έχουσα μητρικήν παρρησίαν.

Κοντάκιον.Ήχος β’. Τοις των αιμάτων σου.

Θεού προμάμμης, Μαρίας, αιτούμενοι θερμάς λιτάς οι δεινώς εμπερίστατοι αναβοώμεν˙ η ρίζα η πάντιμος του Ιησού, εξανθήσαι αξίωσον ημάς αρετής άνθη εύοσμα.

Προκείμενον. Ήχος δ’.

Αγαλλιάσθε δίκαιοι εν Κυρίω, τοις ευθέσι πρέπει αίνεσις.

Στίχος: Μακάριοι πάντες οι φοβούμενοι τον Κύριον.

Εκ του κατά Λουκάν Αγίου Ευαγγελίου

το Ανάγνωσμα (Λουκ. η’ 16 – 21)

Ζήτει τω Σαββάτω της στ’ εβδομάδος του Λουκά.

Πρόσχωμεν

Είπεν ο Κύριος ουδείς λύχνος άψας καλύπτει αυτόν σκεύει, ή υποκάτω κλίνης τίθησιν˙ άλλ’ επί λυχνίας επιτίθησιν, ίνα οι εισπορευόμενοι βλέπωσι το φως. Ου γαρ έστι κρυπτόν, ο ου φανερόν γενήσεται˙ ουδέ απόκρυφον, ο ου γνωσθήσεται και εις φανερόν έλθη. Βλέπετε ουν πώς ακούετε˙ ος γαρ αν έχη, δοθήσεται αυτώ˙ και ος αν μη έχη και ό δοκεί έχειν, αρθήσεται απ’ αυτού. Παρεγένοντο δε προς αυτόν η Μήτηρ και οι αδελφοί αυτού και ουκ ηδύναντο συντυχείν αυτώ δια τον όχλον. Και απηγγέλθη αυτώ λεγόντων˙ η Μήτηρ σου και οι αδελφοί σου εστήκασιν έξω, ιδείν σε θέλοντες. Ο δε αποκριθείς, είπε προς αυτούς. Μήτηρ μου και αδελφοί μου ούτοί εισίν, οι τον λόγον του Θεού ακούοντες και ποιούντες αυτόν.

Δόξα.

Ταις λιταίς Προμμάμης Σης θείας, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Και νυν.

Ταις της Θεοτόκου πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Ήχος πλ. β'. Όλην αποθέμενοι.

Στίχος: Ελεήμον, ελέησόν με, ο Θεός, κατά το μέγα έλεός Σου και κατά το πλήθος των οικτιρμών Σου εξάλειψον το ανόμημά μου.

Πίστεως λευκάνθεμον, Θεού προμμάμη, Μαρία, συν ταις θυγατράσι σου ταις τρισί, πανύμνητε, και εκγόσι σου, τη μητρί, ένθεε, του σεπτού Προδρόμου, Ελισάβετ τη θεόφρονι, και Θεομήτορι τη αχράντω, σκέπε και φύλαττε και φρούρει και αγίαζε και χαρίτων πλήρου εκάστοτε τους εκδεχομένους ευχάς σου τας σεπτάς και ακλινώς ση αντιλήψει προσφεύγοντας εν του βίου κλύδωσι.

Ωδή ζ'. Οι εκ της Ιουδαίας.

Ραντισμώ προσευχών σου καθαγίαζε πάντας τους καταφεύγοντας ση χάριτι Μαρία, αγίας Άννης μήτερ, και φαιδρώς μελωδούντάς σε ως ευσεβών χαρμονήν και αρωγόν και σκέπην.

Ίον πίστεως θείας μυροβόλον, Μαρία, η καθηδύνασα των ευσεβών χορείας, αρρήτω ευωδία των βλαστών της νηδύος σου πλήσον ημάς προσευχών σων θείων ευωδία.

Πάσιν αίτει, Μαρία, ιλασμόν σοις ικέταις τοις προσκυνούσί σου εικόνα την αγίαν εν Ιεροσολύμοις, την τα όμματα κλείουσαν του μη ιδείν τας ημών δεινάς παρανομίας.

Θεοτοκίον.

Ρύπου αμπλακημάτων και παθών κατωδύνων ευχών σου νάμασι προς τον μονογενή σου Υιόν, Θεοκυήτορ παντευλόγητε, κάθαρον τους εις αιώνας λαμπρώς σε ανυμνολογούντας.

Ωδή η’. Τον Βασιλέα.

Ομίχλην λύσον ημών πταισμάτων, Μαρία, αστραπαίς προσευχών σου παμφώτοις προς τον Φωτοδότην, Υιόν της σης Εκγόνου.

Γοβής η Μήτηρ, τεκούσης την Ελισάβετ, του Προδρόμου μητέρα την θείαν, μετανοίας τρίβους σαφώς υπόδειξόν μοι.

Παντοίων ρύσαι κινδύνων σε τους υμνούντας, του Υψίστου προμάμμη, Μαρία, και ασπαζομένους εικόνα σου την θείαν.

Θεοτοκίον.

Ικετηρίους ημών ευχάς, Θεοτόκε, τω Υιώ σου προσάγαγε τάχος, σώζοντι το γένος ημάς εκ του θανάτου.

Ωδή θ'. Κυρίως Θεοτόκον.

Προστάτευε, Μαρία, πάντας χριστωνύμους και προς οδόν καθοοδήγει σωτήριον τους καταφεύγοντας πίστει τη προστασία σου.

Των ικετών σου κόρας άνοιξον, Μαρία, βλέπειν αεί των ψυχών τα συμφέροντα, των προσκυνούντων μορφήν σου την χάριν βλύζουσαν.

Ως ουρανών, Μαρία, κληρονόμον πάντες σε ανυμνούντες θερμώς δυσωπούμέν σε˙ πολίτας δείξον του πόλου τους σοι προστρέχοντας.

Θεοτοκίον.

Χαρίτων του Υιού σου, Θεανθρώπου, πλήσον ημών καρδίας, Παρθένε, υμνούντων σε Θεογεννήτρια Μήτερ, ψαλμοίς και άσμασι.

Άξιον εστί... και τα παρόντα Μεγαλυνάρια.

Μάμμη Θεοτόκου πανευλαβές, σύνευνε αγία ιερέως σεμνού, Ματθάν, Άννης, Ελισάβετ και της Μαρίας μήτερ, Μαρία σκέπε πάντας σε μεγαλύνοντας.

Πάντες προσκυνούντες πανευλαβώς, ευκλεές προμήτορ Θεοτόκου, την σην μορφήν εν τη περιδόξω μονή, Σεϊδανάγιας, Μαρία, εκζητούμεν σκέπην την θείαν σου.

Χαίροις, η πρεσβεύουσα εκτενώς τω Χριστώ, Εκγόνω σου τω θείω, και Λυτρωτή, πάντων των μερόπων, Μαρία τρισολβία, ημίν ισχύν βραβεύσαι, σθένος και δύναμιν.

Όμματα διάνοιξον της ψυχής οικετών σου βλέπειν τα σωτήρια αληθώς, θεαυγές Μαρία, προμήτορ Θεοτόκου, η όμματα εικόνος σης διανοίγουσα.

Ειρηναίαν βράβευε βιοτήν σε τοις προσιούσι και υμνούσί σε ακλινώς, ευλαβές Μαρία, προμμάμη του Υψίστου, του μόνου Ειρηνάρχου και Παντοκράτορος.

Κάθαρον τον ρύπον ημών παθών νάμασιν ευχών σου και υσσώπω των σων λιτών προς τον Έκγονόν σου, Θεάνθρωπον, Μαρία, τον αίροντα του κόσμου τα αμαρτήματα.

Πάσαι των Αγγέλων αι στρατιαί, Πρόδρομε Κυρίου, Αποστόλων η δωδεκάς, οι Άγιοι πάντες, μετά της Θεοτόκου ποιήσατε πρεσβείαν εις το σωθήναι ημάς.

Το Τρισάγιον και το Απολυτίκιον.

Ήχος πλ. α’. Τον συνάναρχον Λόγον.

Θεοτόκου προμήτορ, Μαρία πάντιμε, Άννης, Σοβής και Μαρίας μήτερ, δυσώπει θερμώς τον σον Έκγονον, Χριστόν, τοις σε γεραίρουσι πέμψαι πληθύν των οικτιρμών και ελέους ποταμόν ως πρέσβειρα κόσμου θεία, ίνα οδόν την ευθείαν και σωστικήν καλώς οδεύσωμεν.

Εκτενής και Απόλυσις, μεθ' ήν ψάλλομεν το εξής

Ήχος β'. Ότε εκ του Ξύλου.

Άννης της προμήτορος Χριστού μήτερ, θεοφόρε Μαρία, την σην αγίαν μορφήν πόθω ασπαζόμενοι πιστών οι σύλλογοι εκτενώς σου δεόμεθα˙ η έχουσα θεία Έκγονα τον Πρόδρομον και τον Θεάνθρωπον, φρούρει και ευλόγει και ρύου πάσης επηρείας του πλάνου τους ειλικρινώς ανευφημούντάς σε.

Δέσποινα, πρόσδεξαι τας δεήσεις των δούλων σου και λύτρωσαι ημάς από πάσης ανάγκης και θλίψεως.

Την πάσαν ελπίδα μου εις σε ανατίθημι, Μήτερ του Θεού, φύλαξόν με υπό την σκέπην σου.

Δίστιχον.

Μαρία, προμήτορ Θεοτόκου, ρύου κακών σους
πρόσφυγας, βοά Χαραλάμπης.